1.2.

15 [*Αὐτοκράτωρ Ζήνων Α.*] . . . . . . . *Εἴ* τις δω-
ρεὰν κινητῶν ἢ ἀκινήτων ἢ αὐτοκινήτων πραγμάτων
ἢ οἱουδήποτε δικαίου ποιήσοιτο εἰς πρόσωπον οἱουδή-
ποτε μάρτυρος ἢ ἀποστόλου ἢ προφήτου ἢ τῶν ἁγίων
ἀγγέλων, ὡς μέλλων εὐκτήριον οἶκον οἰκοδομεῖν εἰς
μνήμην, οὗπερ ὀνόματι τὴν εὐσεβῆ διατυποῖ δωρεάν,
τὴν αὐτὴν δωρεάν, εἰ μόνον τὴν πρᾶξιν τῶν ὑπομνη-
μάτων κατὰ τὰς θείας διατάξεις ἐνεφάνισεν, ἐφ' ὧν
τοῦτο ἀναγκαῖόν ἐστι μαθεῖν, κρατεῖν καὶ ἐν ἀπαι-
τήσει ἐκ παντὸς εἶναι τρόπου, κἂν ἀρχθέντος ἢ καὶ
μὴ ἀρχθέντος, ἀλλὰ προδηλωθέντος μόνον διὰ τῆς
δωρεᾶς τοῦ εὐαγοῦς οἰκοδομήματος ὁ φιλοτιμούμενος
τὴν οἰκείαν δηλώσῃ γνώμην, ὥστε καὶ αὐτὸν καὶ τοὺς
αὐτοῦ κληρονόμους τοῖς εὐσεβῶς ἐπηγγελμένοις ἐνόχους
ὄντας καὶ προδηλούμενον, ὡς εἴρηται, ἐκ τῆς δωρεᾶς
εὐαγὲς εὐκτήριον οἰκοδομεῖν καὶ οἰκοδομηθέντι ἢ οἰκο-
δομουμένῳ τὴν ἐκ τῆς αὐτῆς φιλοτιμίας ἀνελλιπῶς
1 παρέχειν ἀπόλαυσιν. Τὰ δὲ αὐτὰ καὶ ἐπὶ ταῖς
τῶν καλουμένων ξενοδοχείων ἢ νοσοκομείων ἢ πτω-
χείων οἰκοδομεῖσθαι καθ' ὃν προείρηται τρόπον
ἐπαγγελθέντων δωρεαῖς κατὰ πάντα τρόπον κρατείτω.
2 *Ἀδείας* διδομένης τοῖς κατὰ τόπον θεοφιλεστάτοις ἐπι-
σκόποις ἤτοι τοῖς εὐλαβεστάτοις οἰκονόμοις τὴν ἐκ ταύ-
της ἡμῶν τῆς θείας διατάξεως ἁρμόζουσαν ἀγωγὴν
κινεῖν κατ' αὐτῶν ἐφ' οἷς εὐσεβῶς ἐπηγγείλαντο·
δικαστικῆς, ὅπερ καὶ λέγειν ἀπρεπές, δεομένων ἀνάγ-
3 κης. *Ἐπὶ* τούτῳ μέντοι τῷ ὅρῳ, ἐφ' ᾧ τε πληρω-
θέντων τῶν δοκούντων τούτῳ τῷ νόμῳ καὶ τῆς εὐσε-
βοῦς τῶν δωρησαμένων ἐπαγγελίας ἔργῳ παραδοθείσης
συγχωρεῖσθαι κατὰ τὰ δόξαντα τοῖς φιλοτιμησαμένοις
καὶ κατὰ τοὺς ἐπιτεθέντας αὐτοῖς ὅρους προβαίνειν
τὴν τῶν δωρηθέντων διοίκησιν.

id est:

*Imp. Zeno A.*

Si quis donationem rerum sive mobilium sive immobilium seu se moventium seu cuiuslibet iuris conferet in personam cuiusvis martyris vel apostoli vel propheti vel sanctorum angelorum oratorium aedificaturus in memoriam eius, cuius nomine donationem conscribit, eandem donationem, modo actorum confectionem secundum sacras constitutiones observarit (in quibus hoc videlicet necessarium est), valere et omnimodo exigi posse, sive coepto sacro aedificio sive non coepto, sed promisso tantum per donationem is qui largitur intentionem suam ostendat: ut et ipse et heredes eius teneantur pie promissis et tam promissum, ut dictum est, donatione sacrum oratorium aedificent quam, dum aedificatum est vel aedificatur, eius liberalitatis fructum sine intermissione praebeant.
1 ¶ Eadem omnimodo valeant in xenodochiis quae dicuntur
vel nosocomiis vel ptochiis, quae quis donandi anime ad modum supra dictum aedificaturum se pollicitus est.

2 ¶ Data licentia religiosissimis locorum episcopis vel devotissimis oeconomis actionem ex hac sacra constitutione competentem adversus, eos exercere de iis quae pie polliciti sunt, si quidem, quod et dici pudet, iudiciaria necessitate opus fuerit.
3 ¶ Sub hac tamen definitione, ut impletis iis quae hac lege placuerunt et pia donatorum promissione ad effectum adducta administratio rerum donatarum ex sententia donatorum et secundum condiciones iis impositas procedat.